# 17 IANUARIE
# ATANASIE SIMONOPETRITUL

# EKLOGA SF.MUCENIC GHEORGHE DE LA IOANINA



## EGKLOGHIERUL PE IANUARIE-GR


Ὁ ἍΓ.
ΓΕΩΡΓΙΟΣ
Ὁ ἘΝ
ἸΩΑΝΝΙΝΟΙΣ
ΤΑ ἸΩΑΝΝΙΝΑ

# Εκλογή εἰς τὸν Πολυέλεον

## Ποίημα
## Ἀθανασίου Ἱερομονάχου Σιμωνοπετρίτου

*Ἦχος πλ. α΄.*

1.Καὶ Δύναμις. Ἀλληλούϊα. Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. Χαίροις Γεώργιε ἔνδοξε τοῦ Χριστοῦ Νεομάρτυς, τῶν Γρεβενῶν τὸ ἄνθος τὸ εὐωδέστατον καὶ τῶν Ἰωαννίνων ὁ εὐχυμότατος καρπός, τῆς δ' Ἐκκλησίας πάσης χαρμοσύνης γλυκυτάτη καὶ παράκλησις ἀείζωος.

*Ἀλληλούϊα.*

2. Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Χαίροις Γεώργιε τρισόλβιε, ὁ τῇ ἀγάπῃ τοῦ Χριστοῦ καταπυρωθείς, καὶ τῶν παρόντων ὡς φθειρομένων προθυμότατα ὑπεριδών.

*Ἀλληλούϊα.*

3. Ὅτι, ἰδού! Οἱ ἐχθροί σου ἤχησαν. Χαίροις τὸ νέον σφάγιον τοῦ Κυρίου, ὁ τιμιώτατος κριὸς τῆς ἐπουρανίου ποίμνης, ὁ τῷ μαρτυρίῳ σου κατανικήσας τὴν γηραιὰν τῆς Ἄγαρ πλάνην, καὶ τοὺς πιστοὺς χαροποιήσας ὑπερμέτρως Γεώργιε.

*Ἀλληλούϊα.*

4. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Χαίροις ὁ τῇ ἀγχόνῃ σου κληρωσάμενος τὴν πεποθημένην τοῖς δικαίοις δόξαν, τῇ δ’ εὐτολμίᾳ σου στηρίξας παραλελυμένας καρδίας τῶν ὑποδούλων σου ἀδελφῶν.

*Ἀλληλούϊα.*

5. Τὰς σάρκας τῶν Ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Χαίροις Γεώργιε μακάριε, τῶν συνωνύμων σοι Ἁγίων ἡ λαμπροτάτη κορωνίς, καὶ τῶν Χριστομαρτύρων ὅλων ἰσάξιος συναθλητής, τῆς δὲ χαρᾶς τῶν πρωτοτόκων ἐντρυφητὴς ἐπάξιος.

*Ἀλληλούϊα.*

6. Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέρσν. Χαίροις Γεώργιε στεφανῖτα, θεολόγε πνευματόφθεγκτε, σκεῦος κεχαριτωμένον τοῦ Παρακλήτου, ὁ τῇ εὐλογημένῃ ἁπλότητί σου καταργήσας τὰς ἐνέδρας τοῦ πολυμηχάνου ἐχθροῦ.

*Ἀλληλούϊα.*

7. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Χαίροιςς Γεώργιε, Ἀθληφόρε ὑπερθαύμαστε, ὁ ἀντὶ συζύγου γενόμενος νυμφίος αἰώνιος τῆς Ἐκκλησίας, καὶ ἀντὶ πατρὸς ἐπιγείου υἱὸς δεδοξασμένος τῆς οὐρανίου πατρίδος.

*Ἀλληλούϊα.*

8. Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. Χαίροις ὁ τῶν πολυειδῶν βασάνων τὸ φορτίον ἀναλαβῶν περιχαρῶς, καὶ διὰ τούτου ἐξωνησάμενος Γεώργιε, τὸν ἀτίμητον μαργαρίτην καὶ τὸν ἄφθαρτον ἀγρὸν τῆς Νέας Ἱερουσαλήμ.

*Ἀλληλούϊα.*

9. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Χαίροις Γεώργιε οὐρανοφῆτα, ὁ τῷ τιμίῳ σου αἵματι πορφυρώσας τὴν ἠπειρωτικὴν γῆν, καὶ ἐν τοῖς κόλποις αὐτῆς τεθείς, ὡς κόκκος ἀθανασίας φυσίζωος.

*Ἀλληλούϊα.*

10. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ἐῤῥύσατο αὐτοὺς ὁ Κύριος. Χαίροις Νεομάρτυς καλλίνικε, νεφέλη κατασκέπουσα μυστικῶς Ἰωαννίνων τὴν φιλόχριστον καὶ ξενίζουσάν σε πόλιν, καὶ τὴν ὁδὸν τοῦ ἁγιασμοῦ ὑποδεικνὺς ἡμῖν τοῖς ἐκ ψυχῆς τιμῶσί σε.

*Ἀλληλούϊα.*

11. Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς ευθέσι τῇ καρδίᾳ εὐφροσύνῃ. Χαίροις υἱὲ τοῦ φωτὸς τοῦ Χριστοῦ, ὁ ἐπ' αὐτῇ εἰσέτι τῇ ἀγχόνῃ σου ὡς ἀῤῥαβῶνα δεξάμενος τὴν ἄκτιστον ἀκτινοβολίαν, ἥν καὶ ἡμῖν ἱκέτευε τοῖς ὑμνηταῖς σου τοῖς ἐζοφωμένοις Γεώργιε.

*Ἀλληλούϊα.*

12. Δίκαιος ὡς φοίνιξ ἀνθήσιε, καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Χαίροις ἡ χαρὰ τῶν ἐν χαρᾷ γεραιρόντων σε, Γεώργιε χαριτώνυμε Νεομάρτυς. Τοῖς ἀσπαζομένοις σου μετὰ πόθου τὰ σεπτά σου λείψανα, καὶ τὴν χαροποιὸν πανήγυρίν σου συγκροτοῦσι, ἀντιδώρησαι σαῖς πρεσβείαις τὴν δόξαν τοῦ Χριστοῦ ἥν δικαίως κέκτησαι.

*Ἀλληλούϊα.*

*Δόξα. Τριαδικόν.*

Ἡ ἀδιαίρετος θεότης καὶ ὑπερούσιος τριάς, Πάτερ ἄναρχε, Υἱὲ γεννητέ, καὶ Πνεῦμα τὸ ἐκπορευτόν, τοὺς ὀρθοδόξως σε πιστεύοντας καὶ προσκυνοῦντας τὴν δόξαν σου τὴν ὑπέρλογον, εὐλόγει οἷς οἶσθα τρόποις, τῇ πρεσβείᾳ τοῦ σοῦ ἐνδόξου Νεομάρτυρος, καὶ χάρισαι τῆς βασιλείας σου τὴν κληρονομίαν.

*Ἀλληλούϊα.*

*Καὶ νῦν. Θεοτοκίον.*

Ἡ ἀπειρόγαμως κυήσασα τὸν φιλάνθρωπον Λόγον τοῦ Θεοῦ, τῶν Χριστιανῶν ἡ ἀκαταίσχυντος ἐλπίς, καὶ μήτηρ πάντων τῶν θλιβομένων, ταῖς ἱκεσίαις τοῦ δούλου σου Γεωργίου, γενοῦ ἡμῖν προστάτις καὶ προπύργιον ἀκαταμάχητον ἐν τῷ παρόντι βίῳ, καὶ δωρεὰν ἀξίωσον ἡμᾶς τῆς δόξης τοῦ Υἱοῦ σου τοῦ γλυκυτάτου.

*Ἀλληλούϊα.*